# Wednesday 4 June 2014 – Morning

## ADVANCED GCE CLASSICS: CLASSICAL GREEK

**F373/01** Classical Greek Verse

**INSERT**

*1311500616*

**Duration:** 2 hours

**INSTRUCTIONS TO CANDIDATES**

- Do not hand in this Insert at the end of the examination. It is not required by the Examiner.

**INFORMATION FOR CANDIDATES**

- This document consists of **8** pages. Any blank pages are indicated.

**INSTRUCTION TO EXAMS OFFICER/INVIGILATOR**

- Do not send this Insert for marking; it should be retained in the centre or recycled. Please contact OCR Copyright should you wish to re-use this document.

© OCR 2014 [L/500/8444]
NL 95348
OCR is an exempt Charity

## Passage 1

*King Aegeus of Athens, who is visiting Corinth, asks Medea why she is distressed. She reveals that her husband Jason is abandoning her for the daughter of Creon, the King of Corinth.*

*ΑΙΓΕΥΣ ΜΗΔΕΙΑ*

AEGEUS But why are your eyes and face molten with tears?

Μή. Αἰγεῦ, κάκιστός ἐστί μοι πάντων πόσις.
Αἰ. τί φῄς; σαφῶς μοι σὰς φράσον δυσθυμίας.
Μή. ἀδικεῖ μ᾽ Ἰάσων οὐδὲν ἐξ ἐμοῦ παθών.
Αἰ. τί χρῆμα δράσας; φράζε μοι σαφέστερον.
Μή. γυναῖκ᾽ ἐφ᾽ ἡμῖν δεσπότιν δόμων ἔχει.
Αἰ. οὔ που τετόλμηκ᾽ ἔργον αἴσχιστον τόδε;
Μή. σάφ᾽ ἴσθ᾽· ἄτιμοι δ᾽ ἐσμὲν οἱ πρὸ τοῦ[1] φίλοι.
Αἰ. πότερον ἐρασθεὶς[2] ἢ σὸν ἐχθαίρων λέχος;
Μή. μέγαν γ᾽ ἔρωτα· πιστὸς οὐκ ἔφυ φίλοις.
Αἰ. ἴτω νυν, εἴπερ, ὡς λέγεις, ἐστὶν κακός.
Μή. ἀνδρῶν τυράννων κῆδος[3] ἠράσθη[2] λαβεῖν.
Αἰ. δίδωσι δ᾽ αὐτῷ τίς; πέραινέ[4] μοι λόγον.
Μή. Κρέων, ὃς ἄρχει τῆσδε γῆς Κορινθίας.
Αἰ. συγγνωστὰ μέντἄρ᾽ ἦν[5] σε λυπεῖσθαι, γύναι.
Μή. ὄλωλα· καὶ πρός γ᾽[6] ἐξελαύνομαι χθονός.
Αἰ. πρὸς τοῦ; τόδ᾽ ἄλλο καινὸν αὖ λέγεις κακόν.
Μή. Κρέων μ᾽ ἐλαύνει φυγάδα γῆς Κορινθίας.
Αἰ. ἐᾷ δ᾽ Ἰάσων; οὐδὲ ταῦτ᾽ ἐπῄνεσα.
Μή. λόγῳ μὲν οὐχί, καρτερεῖν[7] δὲ βούλεται.
ἀλλ᾽ ἄντομαί[8] σε τῆσδε πρὸς γενειάδος[9]
γονάτων τε τῶν σῶν ἱκεσία[10] τε γίγνομαι,
οἴκτιρον οἴκτιρόν με τὴν δυσδαίμονα
καὶ μή μ᾽ ἔρημον ἐκπεσοῦσαν εἰσίδῃς,
δέξαι δὲ χώρᾳ καὶ δόμοις ἐφέστιον[11].

Euripides, *Medea* 690–713

**Words**

| | | | |
|---|---|---|---|
| [1] πρὸ τοῦ | previously | [7] καρτερέω | endure |
| [2] ἔραμαι, *aorist* ἠράσθην | love, desire, crave | [8] ἄντομαι | entreat |
| [3] τὸ κῆδος | *here* = marriage | [9] ἡ γενειάς, -άδος | beard |
| [4] περαίνω | finish | [10] ἱκέσιος, -α, -ον | suppliant |
| [5] μέντἄρ᾽ ἦν | then it was | [11] ἐφέστιος, -ον | guest |
| [6] πρός γ᾽ | in addition | | |

© OCR 2014

## Passage 2A

*ΟΙΔΙΠΟΥΣ*
ἰὼ Κιθαιρών, τί μ᾽ ἐδέχου; τί μ᾽ οὐ λαβὼν
ἔκτεινας εὐθύς, ὡς ἔδειξα μήποτε
ἐμαυτὸν ἀνθρώποισιν ἔνθεν ἦ γεγώς;
ὦ Πόλυβε καὶ Κόρινθε καὶ τὰ πάτρια
λόγῳ παλαιὰ δώμαθ᾽, οἷον ἆρά με
κάλλος κακῶν ὕπουλον ἐξεθρέψατε.
νῦν γὰρ κακός τ᾽ ὢν κἀκ κακῶν εὑρίσκομαι.
ὦ τρεῖς κέλευθοι καὶ κεκρυμμένη νάπη
δρυμός τε καὶ στενωπὸς ἐν τριπλαῖς ὁδοῖς,
αἳ τοὐμὸν αἷμα τῶν ἐμῶν χειρῶν ἄπο
ἐπίετε πατρός, ἆρά μου μέμνησθ᾽ ἔτι
οἷ᾽ ἔργα δράσας ὑμὶν εἶτα δεῦρ᾽ ἰὼν
ὁποῖ᾽ ἔπρασσον αὖθις; ὦ γάμοι γάμοι,
ἐφύσαθ᾽ ἡμᾶς, καὶ φυτεύσαντες πάλιν
ἀνεῖτε ταὐτὸν σπέρμα, κἀπεδείξατε
πατέρας ἀδελφούς, παῖδας αἷμ᾽ ἐμφύλιον,
νύμφας γυναῖκας μητέρας τε, χὠπόσα
αἴσχιστ᾽ ἐν ἀνθρώποισιν ἔργα γίγνεται.
ἀλλ᾽, οὐ γὰρ αὐδᾶν ἔσθ᾽ ἃ μηδὲ δρᾶν καλόν,
ὅπως τάχιστα πρὸς θεῶν ἔξω μέ που
καλύψατ᾽, ἢ φονεύσατ᾽, ἢ θαλάσσιον
ἐκρίψατ᾽, ἔνθα μήποτ᾽ εἰσόψεσθ᾽ ἔτι.

Sophocles, *Oedipus Tyrannus* 1391–1412

© OCR 2014

## Passage 2B

*ΟΙΔΙΠΟΥΣ*
οὗτος σύ, πῶς δεῦρ᾽ ἦλθες; ἦ τοσόνδ᾽ ἔχεις
τόλμης πρόσωπον ὥστε τὰς ἐμὰς στέγας
ἵκου, φονεὺς ὢν τοῦδε τἀνδρὸς ἐμφανῶς
λῃστής τ᾽ ἐναργὴς τῆς ἐμῆς τυραννίδος;
φέρ᾽ εἰπὲ πρὸς θεῶν, δειλίαν ἢ μωρίαν
ἰδών τιν᾽ ἔν μοι ταῦτ᾽ ἐβουλεύσω ποεῖν;
ἢ τοὔργον ὡς οὐ γνωριοῖμί σου τόδε
δόλῳ προσέρπον κοὐκ ἀλεξοίμην μαθών;

Sophocles, *Oedipus Tyrannus* 532–539

© OCR 2014

## Passage 3A

*ΣΤΡΕΨΙΑΔΗΣ ΜΑΘΗΤΗΣ*

Στ. ἥσθην γαλεώτῃ καταχέσαντι Σωκράτους.
Μα. ἐχθὲς δέ γ᾽ ἡμῖν δεῖπνον οὐκ ἦν ἑσπέρας.
Στ. εἶέν. τί οὖν πρὸς τἄλφιτ᾽ ἐπαλαμήσατο;
Μα. κατὰ τῆς τραπέζης καταπάσας λεπτὴν τέφραν,
κάμψας ὀβελίσκον, εἶτα διαβήτην λαβὼν
ἐκ τῆς παλαίστρας θοἰμάτιον ὑφείλετο.
Στ. τί δῆτ᾽ ἐκεῖνον τὸν Θαλῆν θαυμάζομεν;
ἄνοιγ᾽ ἄνοιγ᾽ ἁνύσας τὸ φροντιστήριον,
καὶ δεῖξον ὡς τάχιστά μοι τὸν Σωκράτη.
μαθητιῶ γάρ. ἀλλ᾽ ἄνοιγε τὴν θύραν.
ὦ Ἡράκλεις ταυτὶ ποδαπὰ τὰ θηρία;
Μα. τί ἐθαύμασας; τῷ σοι δοκοῦσιν εἰκέναι;
Στ. τοῖς ἐκ Πύλου ληφθεῖσι, τοῖς Λακωνικοῖς.
ἀτὰρ τί ποτ᾽ ἐς τὴν γῆν βλέπουσιν οὑτοιί;
Μα. ζητοῦσιν οὗτοι τὰ κατὰ γῆς.
Στ. βολβοὺς ἄρα
ζητοῦσι. μή νυν τοῦτό γ′ ἔτι φροντίζετε·
ἐγὼ γὰρ οἶδ᾽ ἵν᾽ εἰσὶ μεγάλοι καὶ καλοί.
τί γὰρ οἵδε δρῶσιν οἱ σφόδρ᾽ ἐγκεκυφότες;
Μα. οὗτοι δ᾽ ἐρεβοδιφῶσιν ὑπὸ τὸν Τάρταρον.
Στ. τί δῆθ᾽ ὁ πρωκτὸς ἐς τὸν οὐρανὸν βλέπει;
Μα. αὐτὸς καθ᾽ αὑτὸν ἀστρονομεῖν διδάσκεται.
ἀλλ᾽ εἴσιθ᾽, ἵνα μὴ ′κεῖνος ὑμῖν ἐπιτύχῃ.
Στ. μήπω γε, μήπω γ᾽· ἀλλ᾽ ἐπιμεινάντων, ἵνα
αὐτοῖσι κοινώσω τι πραγμάτιον ἐμόν.
Μα. ἀλλ᾽ οὐχ οἷόν τ᾽ αὐτοῖσι πρὸς τὸν ἀέρα
ἔξω διατρίβειν πολὺν ἄγαν ἐστὶν χρόνον.

Aristophanes, *Clouds* 174–199

© OCR 2014

## Passage 3B

*ΔΙΚΑΙΟΣ ΛΟΓΟΣ*
λέξω τοίνυν τὴν ἀρχαίαν παιδείαν ὡς διέκειτο,
ὅτ᾽ ἐγὼ τὰ δίκαια λέγων ἤνθουν καὶ σωφροσύνη ᾽νενόμιστο.
πρῶτον μὲν ἔδει παιδὸς φωνὴν γρύξαντος μηδὲν᾽ ἀκοῦσαι·
εἶτα βαδίζειν ἐν ταῖσιν ὁδοῖς εὐτάκτως εἰς κιθαριστοῦ
τοὺς κωμήτας γυμνοὺς ἁθρόους, κεἰ κριμνώδη κατανείφοι.
εἶτ᾽ αὖ προμαθεῖν ᾆσμ᾽ ἐδίδασκεν, τὼ μηρὼ μὴ ξυνέχοντας,
ἢ "Παλλάδα περσέπολιν δεινὰν" ἢ "τηλέπορόν τι βόαμα,"
ἐντειναμένους τὴν ἁρμονίαν, ἣν οἱ πατέρες παρέδωκαν.

Aristophanes, *Clouds* 961–968

© OCR 2014

**BLANK PAGE**

© OCR 2014

**BLANK PAGE**

**Copyright Information**

OCR is committed to seeking permission to reproduce all third-party content that it uses in its assessment materials. OCR has attempted to identify and contact all copyright holders whose work is used in this paper. To avoid the issue of disclosure of answer-related information to candidates, all copyright acknowledgements are reproduced in the OCR Copyright Acknowledgements Booklet. This is produced for each series of examinations and is freely available to download from our public website (www.ocr.org.uk) after the live examination series.

If OCR has unwittingly failed to correctly acknowledge or clear any third-party content in this assessment material, OCR will be happy to correct its mistake at the earliest possible opportunity.

For queries or further information please contact the Copyright Team, First Floor, 9 Hills Road, Cambridge CB2 1GE.

OCR is part of the Cambridge Assessment Group; Cambridge Assessment is the brand name of University of Cambridge Local Examinations Syndicate (UCLES), which is itself a department of the University of Cambridge.

© OCR 2014